οὐκ ἠθέλησα ζῆν ἀποσπασθεῖσά σου
σὺν παισὶν ὀρφανοῖσιν, οὐδ᾽ ἐφεισάμην
ἥβης ἔχουσα δῶρ᾽, ἐν οἷς ἐτερπόμην.
καίτοι σ᾽ ὁ φύσας χἠ τεκοῦσα προύδοσαν,
καλῶς μὲν αὐτοῖς κατθανεῖν ἧκον βίου,
καλῶς δὲ σῶσαι παῖδα κεὐκλεῶς θανεῖν.
μόνος γὰρ αὐτοῖς ἦσθα, κοὔτις ἐλπὶς ἦν
σοῦ κατθανόντος ἄλλα φιτύσειν τέκνα.
κἀγώ τ᾽ ἂν ἔζων καὶ σὺ τὸν λοιπὸν χρόνον,
κοὐκ ἂν μονωθεὶς σῆς δάμαρτος ἔστενες
καὶ παῖδας ὠρφάνευες. ἀλλὰ ταῦτα μὲν
θεῶν τις ἐξέπραξεν ὥσθ᾽ οὕτως ἔχειν.
εἶεν· σὺ νῦν μοι τῶνδ᾽ ἀπόμνησαι χάριν·
αἰτήσομαι γάρ σ᾽ — ἀξίαν μὲν οὔποτε·
ψυχῆς γὰρ οὐδσέν ἐτι τιμιώτερον —
δίκαια δ᾽, ὡς φήσεις σύ· τούσδε γὰρ φιλεῖς
οὐχ ἧσσον ἢ ᾽γὼ παῖδας, εἴπερ εὖ φρονεῖς·
τούτους ἀνάσχου δεσπότας ἐμῶν δόμων,
καὶ μὴ ᾽πιγήμῃς τοῖσδε μητρυιὰν τέκνοις,
ἥτις κακίων οὖσ᾽ ἐμοῦ γυνὴ φθόνῳ
τοῖς σοῖσι κἀμοῖς παισὶ χεῖρα προσβαλεῖ.
μὴ δῆτα δράσῃς ταῦτά γ᾽, αἰτοῦμαί σ᾽ ἐγώ.
ἐχθρὰ γὰρ ἡ ᾽πιοῦσα μητρυιὰ τέκνοις
τοῖς πρόσθ᾽, ἐχίδνης οὐδὲν ἠπιωτέρα.
καὶ παῖς μὲν ἄρσην πατέρ᾽ ἔχει πύργον μέγαν,
[ὃν καὶ προσεῖπε καὶ προσερρήθη πάλιν]
σὺ δ᾽, ὦ τέκνον μοι, πῶς κορευθήσῃ καλῶς,
ποίας τυχοῦσα συζύγου τῷ σῷ πατρί;
μή σοί τιν᾽ αἰσχρὰν προσβαλοῦσα κληδόνα
ἥβης ἐν ἀκμῇ σοὺς διαφθείρῃ γάμους.
οὐ γάρ σε μήτηρ οὔτε νυμφεύσει ποτὲ